*αἰαῖ', καὶ 'τὸν Ἄδωνιν' ἔτι πλέον ἢ ''Υμέναιον'.*
*αἱ Χάριτες κλαίοντι τὸν υἱέα τῶ Κινύραο,*
*'ὤλετο καλὸς Ἄδωνις' ἐν ἀλλάλαισι λέγοισαι,*
*'αἰαῖ' δ' ὀξὺ λέγοντι πολὺ πλέον ἢ Παιῶνα.*
*χαἰ Μοῖραι τὸν Ἄδωνιν ἀνακλείοισιν, Ἄδωνιν,*
*καί νιν ἐπαείδουσιν, ὃ δέ σφισιν οὐκ ἐπακούει·*
*οὐ μὰν οὐκ ἐθέλει, Κώρα δέ νιν οὐκ ἀπολύει.*

*λῆγε γόων Κυθέρεια τὸ σάμερον, ἴσχεο κομμῶν·*
*δεῖ σε πάλιν κλαῦσαι, πάλιν εἰς ἔτος ἄλλο δακρῦσαι.*

## II. [ΒΙΩΝΟΣ] ΕΠΙΘΑΛΑΜΙΟΣ ΑΧΙΛΛΕΩΣ ΚΑΙ ΔΗΙΔΑΜΕΙΑΣ

*ΜΥΡΣΩΝ*

*Λῇς νύ τί μοι, Λυκίδα, Σικελὸν μέλος ἁδὺ λιγαίνειν,*
*ἱμερόεν γλυκύθυμον ἐρωτικόν, οἷον ὁ Κύκλωψ*
*ἄεισεν Πολύφαμος ἐπ' ᾐόνι ⟨τᾳ̣⟩ Γαλατείᾳ;*

*ΛΥΚΙΔΑΣ*

*κἠμοὶ συρίσδεν, Μύρσων, φίλον, ἀλλὰ τί μέλψω;*
*ΜΥ. Σκύριον ⟨ὅν⟩, Λυκίδα, ζαλώμενος ᾆδες ἔρωτα,*
*λάθρια Πηλεΐδαο φιλάματα, λάθριον εὐνάν,*
*πῶς παῖς ἕσσατο φᾶρος, ὅπως δ' ἐψεύσατο μορφάν,*